ΝΙΚΟΛΑΟΥ ΚΑΒΑΣΙΛΑ ΑΝΕΚΔΟΤΟΝ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ

Ἐκ τῶν ἀνεκδότων ἐγκωμίων εἰς τοὺς τρεῖς Ἱεράρχας[1], ἐξ ὧν ἔχω ἤδη ἐκδώσει τὸ τοῦ Ἰωάννου Εὐχαΐτων[2], τὸ ἀρχόμενον «Τρεῖς με πρὸς τριώνυμον παροτρύνουσιν κίνησιν» καὶ τὸ τοῦ Ματθαίαυ Καμαριώτου[3], τὸ ἀρχόμενον «Εἴπερ ἄλλο τι τοῖς τοῦ λόγου θεραπευταῖς καὶ λόγος ἐγκωμίων προσήκων», ἐκδίδω νῦν ἐνταῦθα τὸ τοῦ Νικολάου Καβάσιλα[4], τὸ ἀρχόμενον «Οἶμαί γε τῶν ἐννομωτάτων καὶ δικαιοτάτων εἶναι».

Τὸ ἐγκώμιον τοῦτο, ὅπερ εὕρηται ἐν τοῖς κώδιξι Par. 1213 (φ. 101α—104α), Vind. theol. 262 (φ. 120β—124β), Coisl. 315 (φ. 189β—196α) καὶ ἄλλοις, φέρει ἐπιγραφήν· «Εἰς τοὺς ἁγίους τρεῖς μεγάλους ἱεράρχας καὶ οἰκουμενικοὺς διδασκάλους Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόγλωττον»[5]. Ἡ ἔκδοσις γίνεται ἐπὶ τῇ βάσει φωτογραφικῶν ἀποτυπωμάτων τῶν ἀνωτέρω τριῶν μνημονευθέντων κωδίκων, αἱ μεταξὺ τῶν ὁποίων διαφοραὶ εἶναι ἐλάχισται καὶ ἀνάξιαι λόγου.

Εἰς τοὺς ἁγίους τρεῖς μεγάλους Ἱεράρχας καὶ οἰκουμενικοὺς διδασκάλους, Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον καὶ Ἰωάννην τὸν χρυσόγλωττον.

Οἶμαί γε τῶν ἐννομωτάτων καὶ δικαιοτάτων εἶναι τὴν γινομένην τοῖς πατράσιν πᾶσαν νέμειν τιμήν, εἴ περ δέ τινας τῶν ἁπάντων πατέρας τῆς καθ' ἡμᾶς ἱερᾶς ταύτης φατρίας καὶ τοῦ χοροῦ τῶν εὐσεβούντων κορυφαίους, ὡς εἰπεῖν, καὶ προστάτας καὶ ὑμᾶς, ὦ βέλτιστοι πάντων, ἅπαν-

---

[1] Περὶ τῶν ἀνεκδότων ἐγκωμίων εἰς τοὺς τρεῖς Ἱεράρχας πρβλ. τὴν ἐμὴν ἐν τῷ ἀναμνηστικῷ τόμῳ τοῦ ἐκκλ. Φάρου Ἀλεξανδρείας διατριβὴν ὑπὸ τὴν ἐπιγραφὴν «Ἀνέκδοτα ἐγκώμια εἰς τοὺς τρεῖς Ἱεράρχας» (τόμ. 31 (1932) σ. 77—91).

[2] Πρβλ. Ἔνθ' ἀν.

[3] Πρβλ. «Ἐπετηρίδα τῆς ἑταιρείας Βυζαντινῶν σπουδῶν» τόμ. 10 (1933) σ. 55 — 71.

[4] Περὶ τοῦ βίου καὶ τῶν ἔργων τοῦ Νικολάου Καβάσιλα πρβλ. ἰδίᾳ Κρουμβάχερ, Ἱστορίαν τῆς βυζαντ. λογοτεχνίας μεταφρασθεῖσαν ὑπὸ Γεωργίου Σωτηριάδου τόμ. Α΄. σ. 314 ἑ. καὶ F. Vernet, Cabasilas Nicolas ἐν τῷ Dictionnaire de Théologie catholique, ἔνθα καὶ ἡ σχετικὴ βιβλιογραφία.

[5] Ἐν τῷ κώδικι Vind. theol. 262 γέγραπται ἀντὶ Χρυσόγλωττον τὸ σύνηθες Χρυσόστομον. Ἀναμφιβόλως ἀρχικὴ γραφὴ εἶναι τὸ Χρυσόγλωττον.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:56:01 EEST - 3.145.23.123

τες, ἴσμεν, μᾶλλον δὲ ὡς οὐδένας τῶν πάντων· μόνοι γὰρ ἁπάντων ὑμεῖς, εἰ δεῖ συντόμως εἰπεῖν ἢ κομιδῇ γε ἐν ὀλίγοις, τοῦ γ' εὐσεβεῖν ἀνθρώπους τὰ πρὸς Θεὸν αἰτιώτατοι κατέστητε καὶ τῆς κοινῆς σωτηρίας πᾶσι συναγωνισταὶ καὶ συλλήπτορες, ὥστε γε δεῖ καὶ πάντας ἀνθρώπους καὶκοινῇ καὶ καθ' ἕνα καὶ τιμᾶν τοῖς γενομένοις ὡς εὐεργέτας ὑμᾶς ἑνὸς οὐδενὸς τὸ παράπαν ἀπεχομένους τῶν εἰς τὴν ὑμετέραν εὐφημίαν φερόντων. Ἀλλὰ τὸ μὲν κοινὸν δίκαιόν γε τοσοῦτον καὶ οὕτω δήπου τὸ παρὰ πάντων ὑμῖν ὀφείλεται θαῦμα, ἐμοὶ δέ τι καὶ πλέον ἔνεστιν· ἔχω γάρ τοι πρὸς τῷ κοινῷ δικαίῳ καὶ τὸν ὑμέτερον τουτονὶ δήπου περὶ ὑμᾶς ἔρωτα καὶ τὴν ἐκεῖθεν ἀνάγκην σπεύδοντα κατὰ τὸ ἔπος ὀτρύνουσαν, ὥστε διὰ πάντων τό γε ὑπὲρ ὑμῶν λέγειν ἀναγκαῖον ἐμοί γε γίγνεσθαι. Ἐπεί γε, εἰ καὶ τῶν εἰκότων ἔξω πεσούμεθα, ἀγαπήσομέν γε ἐν τοῖς παιδικοῖς ἡττώμενοι, ἄλλως θ' ὅτι καὶ πάντας τοῦτο παθεῖν ἀνάγκη, τοὺς ὑπὲρ ὑμῶν λέγοντας, ἐπεὶ καὶ πάντα μεθ' ὑπερβολῆς ἐν ἑαυτοῖς τὰ βέλτιστα συλλαβόντες καὶ πάντας ἐν πᾶσιν ὑπερνικήσαντες, ὥσπερ εἰκὸς τοὺς κοινοὺς τοῦ γένους σωτῆρας, περὶ τοὺς ἐπαίνους τοῖς λόγοις ἠτυχηκότες ἐφάνητε, θαυμαζόμενοι μὲν ὑφ' ἁπάντων, θαυμαζόμενοι δὲ οὐδὲν μᾶλλον, οὐδ' ὥστε τοῖς ἐπαίνοις ὁρίζειν, ἀλλ' ἀεὶ κάτω τιθέναι τοὺς λόγους τῷ ὑπερφυεῖ τῶν πραγμάτων, ὥσπερ εἰς ἀνάγκην δή τινα καταστάντες μικρὰν ἀποφῆναι τὴν φύσιν τοῦ λόγου, ὡς οὐχ ἱκανῶς ἐπὶ πάντα ἀφικνουμένην. Ὑμεῖς γάρ, εἰ δεῖ συντόμως εἰπεῖν οἱ πᾶσαν μὲν ἀρετῆς ἰδέαν ὡς δή τινα μίαν κατωρθωκότες, οὕτω δὲ εἰς ἄκρον καὶ μετ' ἀκριβείας ἑκάστην, ὡς καὶ κανόνες καὶ στάθμαι καὶ πᾶσι τοῖς ἄλλοις τούτων γενέσθαι θεοείκελοί τινες ἀτεχνῶς· τῆς γὰρ ἀρετῆς ἁπάσης διττῆς οὔσης καὶ εἰς ἄμφω χωρούσης καὶ τῆς μὲν κοινωφελεστάτης καὶ τῷ κοινῷ λυσιτελεῖ συντελούσης, τῆς δὲ πρὸς μόνων τῶν κατορθούντων καὶ μόνοις τοῖς χρωμένοις λυσιτελοῦς, οὕτως ἑκατέρων εἰς ἄκρον ἤλασαν καὶ τοσοῦτον ἀμφοτέρων ἐποιήσαντο λόγον καὶ μὴ μόνον σφίσιν αὐτοῖς ἀλλὰ καὶ τοῖς ἄλλοις γεγόνασιν ἐν καιρῷ, ὡς καὶ μεγάλοι καὶ παρὰ πάντας ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ κατὰ τὸν θεῖον προσειρῆσθαι χρησμόν. Θεόθεν γὰρ καὶ φύντες τὴν ἀρχὴν καὶ τραφέντες καὶ αὐξηθέντες, οὕτως εὖ τὸν πατέρα θεὸν ἐμιμήσαντο, ὥστε καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀντὶ τούτου κατέστησαν, πάντων μὲν τῶν ἐκεῖθεν ἀγαθῶν ἀφθόνων μετεσχηκότες καὶ πεῖραν ταύτην πρώτην δόντες τοῦ κατ' ἀξίαν τυχεῖν τῷ χρήσασθαι τοῖς ὑπάρχουσιν ὡς προσῆκε. Πρῶτον μὲν οὖν τὰς ψυχὰς ἀπειλικρινημένας παρεσκευακότες καὶ καθαρὰς καὶ συμπάντων τῶν γηΐνων ἀνωτέρας καὶ τῆς κατ' αὐτὰ προσπαθείας, ὡς μόνοις τοῖς ἀΰλοις, ὡς ἀνθρώπῳ μάλα πρὸς τρόπου καὶ συζῆν ἀεὶ καὶ συνεῖναι μηδενὶ τῶν κάτω προσέχοντες. Ἔπειτά γε Θεὸν αὐτὸν καθαρῶς εἶδον καὶ συνεγένοντο καὶ τῆς ἐκεῖθεν ἔμπλεοι κατέστησαν αἴγλης, ἄνθρακές τινες κατὰ τὸν ψαλμῳδὸν ἀναφθέντες καὶ φῶτα τέλεια,

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:56:01 EEST - 3.145.23.123

τελείου φωτὸς γεννήματα. Καὶ μὴ μόνον τὸν Χριστὸν ἔν γέ σφισιν αὐτοῖς οἰκοῦντα καὶ ἐμπεριπατοῦντα καὶ λαλοῦντα δήπου καὶ ζῶντα κατὰ τοὺς θείους λόγους φοροῦντες, ἀλλὰ καὶ τοῖς ἄλλοις οἷοί τε ὄντες τοῦτον ἐκλάμπειν καὶ τὴν δόξαν αὐτοῦ διηγεῖσθαι καὶ τὰ μεγάλα μυσταγωγεῖν. Οὕτω τοίνυν ἑαυτοὺς παρεσκευακότες καὶ ὁποίους εἰκὸς εἶναι τοὺς κοινοὺς τῶν ἀνθρώπων προστάτας, οἷα κοινοὶ σωτῆρες καὶ ἀρχηγοὶ τῶν βελτίστων θεόθεν δεξάμενοι τὴν τῶν ἀνθρώπων ποιμαντικὴν προστασίαν, ὥσπερ μετ' ἐκεῖνον ἄρχειν λαχόντες, οὕτως ἐπολιτεύσαντο τὴν ἀρχὴν εἰκόνες Θεοῦ καὶ ὄντες ἀτεχνῶς καὶ καλούμενοι, καὶ θείων καὶ ἀνθρωπίνων, εἰ δεῖ συντόμως φάναι, τεχνῖται. Οὐ μόνον γὰρ τοὺς ἀνθρώπους εὖ ποιοῦντες διετέλουν ἀνάγοντες πρὸς τὰ κρείττω καὶ τὸ καλῶς πολιτεύειν καὶ θεοὺς ἐξ ἀνθρώπων τὸ γοῦν εἰς αὐτοὺς ἧκον τιθέντες, ἀλλὰ καὶ πολλῷ μείζω, Θεοῦ καὶ τῶν θείων ἐποιήσαντο λόγον. Πῶς γὰρ οὐκ ἔμελλον καὶ κινδυνεύουσαν ἤδη πρὸς τὸ μηδέν, ὡς εἰπεῖν, χωρῆσαι τὴν εὐσέβειαν ἐπανάγειν, ἅτε πολὺν ἤδη χρόνον παρὰ τῶν κάκιστα ἀπολουμένων αἱρετιζόντων τυραννουμένην καὶ μονονοὺ κλιθεῖσαν εἰς γόνυ καὶ Θεὸν μὲν εὐμενῆ καὶ ἵλεων τοῖς ὅλοις τιθέντες, ἀνθρώπους δὲ τὰ πρὸς αὐτὸν ὑγιαίνειν παρασκευάζοντες καὶ τῆς εὐσεβείας, ὥσπερ τινὸς ἱερᾶς ἐχομένους ἀγκύρας, ἔπειτα ἐφεξῆς καὶ τὰς ἀγαθὰς πράξεις, ὡς εἰκός, προστιθέναι καὶ τὸ κατ' ἀρετὴν πολιτεύειν ὡς οὐδενὸς χωρὶς θατέρου τοῖς χρωμένοις λυσιτελοῦντος.

Δεῖ γὰρ ἑκατέρων λόγον ποιεῖσθαι, καὶ ἔργων καὶ πίστεως, τὸν ὑγιαίνειν δι' ὁλοκλήρου ὡς ἀληθῶς ῥηθέν καὶ τὸ σύμπαν εἰπεῖν νῦν μὲν κατὰ τῶν αἱρετιζόντων ἱστάμενοι καὶ τὴν ἐκεῖθεν ἀχλὺν διέχοντες, νῦν δὲ τοὺς ἀνθρώπους ὑπὲρ τὴν ὕλην τιθέντες ταῖς θαυμασταῖς ὑποθήκαις καὶ πρὸς Θεὸν ἐπανάγοντες, ὅθεν οὐ καλῶς ἐκβεβήκεσαν. Οὕτω βέλτιστοι πᾶσιν ἐφάνησαν οὐ μόνον σφίσιν αὐτοῖς πολλῶν ἀγαθῶν αἴτιοι καταστάντες, ἀλλὰ καὶ τοῖς ἄλλοις γενόμενοι σπλάγχνα χρηστότητος ἀτεχνῶς, ὡς καὶ κατὰ τὴν τοῦ Θεοῦ καρδίαν ἐπιεικῶς πολιτευόμενοι φανῆναι διὰ πάντων τῷ κοινῷ λυσιτελεῖ συντελοῦντες καὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν εἰς ἅπαν πραγματευόμενοι, ὥσπερ εἰς τοῦτο τὴν ἀρχὴν δήπουθεν καὶ φανέντες. Ὥσπερ γὰρ τὰ τῶν ἀνθρώπων εἰς ἔσχατον ἀπωλείας ἐλθόντα, ἄλλος μὲν οὐδεὶς τῶν ἁπάντων, Θεὸς δὲ σαρκωθεὶς ἐπανήγαγεν, οὕτω μετ' ἐκεῖνον τοῖς αὐτοῖς μικροῦ περιπεπτωκόσι καὶ Θεὸν καθαρῶς ἀγνοήσασιν ἤρκεσαν πρό γε πάντων οἱ βέλτιστοι πάντων πᾶσαν ἐκ μέσου τιθέντες δυσχέρειαν καὶ θεόθεν φανέντες Θεὸν ἔπειτα αὐτὸν καὶ τοῖς ἄλλοις γνωρίζουσι καὶ ὅπως τούτου πέρι καὶ φρονεῖν καὶ λέγειν προσῆκεν, ὥστε Θεῷ μὲν προσήκοντας εἶναι καὶ συγγενεῖς τινας, ὡς εἰπεῖν, μόνους δὲ πάντων υἱοὺς ὑψίστου δικαίως δήπου καλεῖσθαι. Εἰ γὰρ δήπου πρό γε πάντων γνώρισμα Θεοῦ τὸ οἰκτίρμων εἶναι κατὰ τὸν θεῖον

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:56:01 EEST - 3.145.23.123

χρησμόν, γίνεσθε γάρ φησιν οἰκτίρμονες, καθὼς ὁ πατὴρ ἡμῶν οἰκτίρμων ἐστίν, οἱ τοσοῦτον μὲν ἁπάντων ἀνθρώπων εἰληφότες ἔλεον, ὡς μὴ μόνον καθ' ἑαυτούς, ἀλλὰ καὶ ὑπὲρ σφᾶς αὐτοὺς ἄγειν καὶ προτιθέναι τοῖς ὅλοις, τοσούτους δὲ πόνους ὑπομεμενηκότες ὑπὲρ τῆς αὐτῶν σωτηρίας, οὕτω δὲ καὶ τὰς ψυχὰς ἡδέως εἰς μυρίους δεδωκότες θανάτους, ἵνα ἐκεῖνοι μόνον εὐσεβεῖν ἔχωσι καὶ τὴν γενομένην ἴσχειν δόξαν θεοῦ, πῶς οὐ θεοί τινες ἀτεχνῶς καὶ μάλα σαφῶς βεβαιοῦντες ὡς τῶν λογικῶν τοῦ Χριστοῦ προστατοῦντες θρεμμάτων μετ' ἐκείνου διὰ τὴν πρὸς αὐτὸν ἀγάπην, μετ' ἐκείνου τοῖς ὅλοις ἐχρῶντο πράγμασι πάνθ' ὑπὲρ τούτων καὶ ποιεῖν καὶ πάσχειν ἑτοίμως ἔχοντες. Καὶ μὴν ἐκεῖνος μὲν μήτε τῆς θεότητος ἐκστὰς καὶ σάρκα λαβὼν δι' ἡμᾶς τὸ καθ' ἡμᾶς ἐγεγόνει οἱ δὲ τούμπαλιν ἐσπουδακότες ἐξ ἀνθρώπων θεοὶ γεγενῆσθαι σωτηρία κοινή τις κατ' ἐκεῖνον πᾶσιν ἐφάνησαν τοῦ κοινῇ λυσιτελοῦντος καὶ τῶν θείων ἕνεκα νόμων πάντα καὶ λέγοντες καὶ ποιοῦντες καὶ πάσχοντες, ὥσπερ διὰ ταῦτα θεόθεν τῷ βίῳ δοθέντες, ἐφ' ᾧ τῶν ἐκεῖθεν ἐπιταγέντων καὶ νόμων καὶ τῆς κατ' αὐτὸν εὐσεβείας δημαγωγοὶ καὶ παιδευταὶ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἅπασι γίγνεσθαι τοσούτῳ μείζους τῶν παλαιῶν ἐκείνων νομοθετῶν, ὅσῳ καὶ καθαρώτερον οὗτοι συνεγένοντο τῇ Τριάδι καὶ τὰς ἐκεῖθεν ἐλλάμψεις λαμπροτέρας ἐδέξαντο. Ἐπεὶ καὶ τῆς ὑμνουμένης ἐκείνης κατὰ Μωσέα νομοθεσίας τοσούτῳ μείζους αἱ τῶν μεγάλων δέλτοι καὶ τοῖς ὅλοις καλλίους, ὅσον οὐδὲ παραβάλλεσθαι· λόγων γὰρ καὶ τῆς ἐν λόγοις ῥώμης ἐπὶ τοσοῦτον ἰόντες ὡς μὴ μόνον τοὺς πρὸ αὐτῶν ἐν τούτοις μάλιστα δὴ θαυμασθέντας, ἀλλὰ καὶ τοὺς κατ' ἐκείνους καὶ τοὺς μετ' ἐκείνους ὑπερβαλεῖν καὶ πάντας καθάπαξ ἡττωμένους καὶ κάτω χωροῦντας ἀποδεῖξαι περιφανῶς πρῶτοι καὶ μέσοι καὶ τελευταῖοι τοῖς ἐν λόγοις ἀναφανέντες. Οἱ δὲ καὶ τὴν πάντα νοῦν ὑπερέχουσαν τοῦ Πνεύματος χάριν, ὡς οὐκ οἶδ' εἴ τις τῶν ἁπάντων προσγεγονυῖαν λαβόντες τοιαύτην ἔπειθ' ἡμῖν τὴν τῶν σφετέρων λόγων ῥώμην μετ' ἐκείνης ἀπέδειξαν καὶ οὕτω κρείττω τε ἑαυτῆς καὶ μείζω δεχομένην ἔπαινον καὶ διὰ πάντων τοῖς χρωμένοις λυσιτελῆ, ὡς μὴ μόνον οὐρανὸν καὶ δοκεῖν εἶναι πᾶσι καὶ εἶναι πολλῷ τοῦδε τοῦ ὁρωμένου καὶ καλλίω δήπου καὶ μείζω τὴν θείαν δόξαν διηγουμένων ἀλλὰ καὶ τὸ μέγιστον πάντων στόμα τῷ ὄντι Χριστοῦ ὡς ἐξάγειν ἔχειν ἄξιον ἐξ ἀναξίου καὶ πάντας πρὸς οὐρανὸν μεθιστάναι, μᾶλλον δὲ τὸ τούτων μεῖζον καὶ θεὸν αὐτὸν ὡς εἰπεῖν συνίστησι καὶ κρατύνει καὶ τοῦ ὅπως δεῖ τοῦτον εἰδέναι καὶ οἵαν χρὴ δήπου τὴν περὶ αὐτοῦ δόξαν ἔχειν κοινή τις ἐστι νομοθεσία καὶ ὅρος οὕτω παντοδαπούς τινας τοὺς τῶν μεγάλων λόγους ἡ τοῦ Πνεύματος ἀπέδειξε χάρις καὶ διὰ πάντων ἰόντας. Καὶ τοίνυν τοῖς μὲν κάκιστ' ἀπολουμένοις, τῆς θεότητος ὑβρισταῖς, οὕτω τοι γενναίως πολεμοῦσι καὶ τοῦ Πνεύματος ἐπαξίως ὡς τοὺς μὲν αὐτῶν δόλους καὶ τὰς δεινὰς ὑπὲρ τῆς κακίας ἐνστάσεις οὕτως ἐξελέγχειν εὖ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:56:01 EEST - 3.145.23.123

μάλα καὶ τὸ μηδὲν ἀποφαίνειν, ὥσπερ εἰ μηδὲ τὴν ἀρχὴν συνέστησαν, τοὺς δ' ἐκπεπληγμένους παρασκευάζειν, ὥσπερ τοὺς βροντῇ παταχθέντας ἐστὶν ὁρᾶν, τοῖς δέ γ' εὐσεβέσι καὶ ὅσοι τῆς καθ' ἡμᾶς ἱερᾶς ταύτης φατρίας πειθὼ τὴν τύραννον ἐφιστᾶσι καὶ οὕτω ταῖς ἐκεῖθεν ἀνάγκαις πάντας χειροῦνται παντὸς μᾶλλον Ὀρφέως θέλγοντες καὶ κινοῦντες ἐπὶ τὰ κρείττω ὡς καὶ ἐκ τῶν λίθων ἐγείρειν τέκνα τῷ Ἀβραὰμ κατὰ τοὺς θείους λόγους εἰπεῖν. Οὕτως, ὦ παντοδαπῶν ἀγαθῶν τεχνῖται, κηδεμόνες τοῦ κοινοῦ καὶ σωτῆρες ἐφάνητε προσήκοντα τῷ βίῳ καὶ τὸν λόγον ἐπιδειξάμενοι, ὡς μήτε τὰ ἔργα τῶν λόγων ἐνδεῖν μήτε μὴν τοὺς λόγους τῶν ἔργων, ἀλλὰ καταλλήλως παντάπασιν ἔχειν καὶ διὰ πάντων ἀλλήλοις ἁρμόττειν. Οὕτω γὰρ τοῖς μὲν ἔργοις τοὺς λόγους, τὰ δ' ἔργα τοῖς λόγοις κοσμήσαντες καὶ δι' ἑκατέρων ναοὺς ἑαυτοὺς Θεοῦ καὶ ὄργανα Πνεύματος ἀποδείξαντες, ἔπειτα καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐν καιρῷ γεγόνατε λυσιτέλεια κοινὴ τῷ βίῳ φανέντες καὶ πάντων ἐπ' εὐδαιμονίᾳ προστάντες κοινοὶ μελεδωνοὶ σωτηρίας καὶ δοκοῦντες πᾶσι καὶ ὄντες καὶ τὸ μέγιστον εἰς ἡδονῆς λόγον οὐ μόνον περιόντες, ἀλλὰ καὶ μετὰ τελευτήν, ἵν' ἀθάνατα λυσιτελεῖν ἔχητε τοῖς κοινοῖς, ὥστε μὴ τῷ τοῦ βίου μόνῳ χρόνῳ τὰς εὐεργεσίας ὁρίζειν, ἀλλὰ τοῦ μὲν περιεῖναι πεπαῦσθαι, τοῦ δὲ εὐεργετεῖν οὐ πεπαῦσθαι, ἀλλ' ἐς τ' ἂν τὸ τῶν ἀνθρώπων γένος ἀθάνατον ᾖ καὶ τὰς εὐεργεσίας ἀθανάτους τηρεῖσθαι. Ὥσπερ γὰρ εἰς ἀνθρώπους ἔτι τελοῦντες καὶ τὴν μετὰ Θεοῦ ξυναυλίαν τοῦ παντὸς ἐτιμῶντο ἐκείνῳ μᾶλλον ζῶντες ἢ σφίσιν αὐτοῖς, οὕτως ἐξ ἀνθρώπων γεγονότες καὶ Θεῷ καθαρῶς συγγενόμενοι τοὺς ἀνθρώπους οὐ καταλείπουσιν, ἀλλ' ἄνωθεν συναιρόμενοι τὰ βελτίω τῇ τῶν εὐχῶν συμμαχίᾳ, οἱ δὲ καὶ τοῖς λόγοις σύνεισι δήπου εὖ ποιοῦντες ἅπαντας οὐδὲν ἧττον ἢ πρόσθεν, ὅτε καὶ σωματικῶς τοῖς ἀνθρώποις συνῆσαν. Ὁ μὲν οὖν πάντων σωτὴρ καὶ δεσπότης τὴν ἄρρητον ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν ἐκείνην ἐπανῆκε μέν, ὅθεν ἐξέβη, τὴν σάρκα τεθεωκώς, ἔπεμψε δὲ τὸν ὁμότιμον καὶ συνῆν ἐκεῖνος ἀντὶ τοῦ Σωτῆρος ταῖς μαθηταῖς. Οἱ δὲ μετ' ἐκεῖνον κοινοὶ σωτῆρες ἀνθρώπων καὶ κηδεμόνες φανέντες καὶ πρὸς Θεὸν ἀγωγοὶ ἐπανῆκον μὲν εἰς ὃν καὶ ἐπόθουν καὶ ἐμιμήσαντο, οὐ πολὺ δ' εἰπεῖν καὶ ὅθεν ἐγένοντο, καταλείπουσι δὲ τοὺς ἀρίστους τουτουσὶ λόγους καὶ γίνονται πᾶσι πάντα ἀντὶ τῶν πατέρων οὗτοι κανόνες μὲν εὐσεβείας, ἀρετῆς δὲ καὶ τοῦ κατ' αὐτὴν πολιτεύειν τοῖς ἀνθρώποις ἀγαθοὶ διδάσκαλοι. Ἐγὼ δέ τοι καὶ δοκῶ τὸν ἀγαθὸν Ἰησοῦν οὐχ ὧν παρὰ τὸν βίον ἠγωνίσαντο περιόντες, ἀλλὰ καὶ ὧν μεταστάντες τοῦ βίου κατορθοῦσι διὰ τῶν λόγων φιλοτίμως ἄγαν ἀποδοῦναι τὰς ἀμοιβὰς καὶ κατ' ἄμφω τῶν μεγίστων ἀξιῶσαι γερῶν καὶ διπλοῦς τοὺς στεφάνους σφίσι γενέσθαι διπλῶς γε ἠγωνισμένοις, ἐπεὶ καὶ οὐ παύσονταί ποτε στεφανούμενοι ἐς τ' ἂν τοῦ γ' εὐσεβεῖν ἄνθρωποι δέωνται.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:56:01 EEST - 3.145.23.123

Ἀλλ' ὦ τριὰς ἁπάντων ἀρίστη καὶ τῆς ὑπὲρ πάντας τριάδος ἑστία καὶ εἰκὼν τοῖς ὅλοις προσήκουσα. Ὦ γλῶτται Θεοῦ πυρίπνοι καὶ κιθάραι Πνεύματος καὶ ῥομφαῖαι τοῦ δυνατοῦ, αἷς καθαιρεῖται πᾶν ὕψωμα κατὰ τῆς εὐσεβείας κακῶς ἐπαιρόμενον. Ὦ Θεοῦ ἅρμα μυριοπλάσιον. Ἐγὼ δὲ καὶ πῦρ ὑμᾶς προσείπω οὐκ ἀπεικότως, ὡς ἔγωγε οἶμαι, καὶ πτύον καὶ μάχαιραν, οἷς ὁ Κύριος διαιρεῖ τὸ χεῖρον τοῦ κρείττονος. Ὦ Θεοῦ πρὸς ἀνθρώπους μεγίστη καὶ κοινωφελεστάτη φιλοτιμία. Ὦ θεολογίας κανόνες καὶ τοῦ Θεόν, ὡς εἰκὸς, εἰδέναι πᾶσιν αἰτιώτατοι καταστάντες. Ὦ καὶ τὴν ψυχὴν κατὰ τὸν Ἰησοῦν ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας τιθέντες καὶ πολλοὺς ὑπὲρ τούτων καὶ μεγάλους ὑπομεμενηκότες κινδύνους. Ὦ Πνεύματος ὄντες καὶ τῶν τοῦ Πνεύματος πλήρεις καὶ ταῖς ἐκεῖθεν ἀκτῖσιν αὐτοί τε φωτοειδεῖς ὅλοι φανέντες καὶ τοὺς ἄλλους οὕτως εὖ πεποιηκότες ταῖς παρ' ὑμῶν αὖθις ἀκτῖσιν ὡς υἱοὺς μὲν φωτὸς ἀποδεῖξαι, πολλῶν δὲ καὶ μεγάλων ὀφειλέτας ἅπαντας ἴσχειν. Ἀλλ' ὦ διὰ πάντων βέλτιστοι πάντων, ἤνυσται λόγος, ὃν ὑμῖν ἀπέδωκα ἀντὶ πολλῶν καὶ μεγάλων τῶν εὐεργεσιῶν, ὥστε μὴ περὶ τοὺς εὐεργέτας δόξαι κακός. Ὑμεῖς δὲ ταῖς ὑπειργμέναις εὐεργεσίαις ἑτέρας δή τινας προστιθέντες ἐν μὲν τῷ παρόντι βιοῦντι τοῦ πλημμελοῦντος ἀπηλλαχότες παρασκευάσοιτε δήπου καθαρῶς τῷ καθαρῷ προσέχειν Θεῷ, ἐπὶ δὲ τοῦ μέλλοντος χεῖρα ὀρέγοιτε μεταστᾶσι καὶ μεταδοίητε δόξης τὸν Θεὸν ἡμῖν εὐμενῆ τιθέντες καὶ ἵλεων, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κ. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:56:01 EEST - 3.145.23.123